τοῦ αἰὼν, καὶ ἐλαιών.

§ ωιθ΄. Ἔτι τὰ εἰς εως Ἀττικά. νεὼς, Μενέλεως.

§. ωκ΄. Ἔτι τὰ ἀπὸ τοῦ γεα σύνθετα, ποιὰν γῆν σημαίνοντα. βαθύγεων, λιπαρόγεων.

§. ωκά. Ἔτι τὰ ἐκ τοῦ ἀγχοῦ. ἀγχέμαχος.

§. ωκβ΄. Ἔτι εἰ ἐν μέσῳ λέξεως ἁπλῆς τύχοι ε, ἐπόμενον ἔχον δισύμφωνον. φαρέτρα. πλὴν τοῦ ἥφαιστος, καὶ τῶν ἀπ᾽ αὐτοῦ ἡφαιστίων.

§. ωκγ΄. Ἔτι τὰ ἐκ τοῦ ἔχω. ἐχέμυθος, ἐχέγγυος. καὶ ὅλως τὰ ἀπὸ τῶν εἰς ω ῥημάτων. φερέοικος, ἀγεσίλαος.

§. ωκδ΄. Ἔτι τὰ ἐκ τοῦ ἀρχὸς. ἀρχέγονος. ἀρχέδημος. καὶ ὅλως τὰ ἀπὸ τῶν εις ος, ἢ εἰς ον.

## Ὅσα τῇ αι.

§. ωκέ. Τὰ γε μὴν εἰς αιτερος, καὶ αιτατος, τὴν ἀπὸ τοῦ τέλους τρίτην δίφθογγον ἔχει. ἰσαίτερος, ἰσαίτατος. γεραίτερος, γεραίτατος. Πλὴν τῶν κλητικῶν Ἀντωνυμιῶν. ἡμέτερος, σφέτερος. ἐξαιρείσθω δὲ καὶ τὸ ἕτερος.

§. ωκς΄. Ἔτι τὰ εἰς αια θηλυκὰ μονογενῆ. συναίρεσιν οὐκ ἐπιδεχόμενα, τῇ αι παραλήγει. γαῖα, νεολαία. Πλὴν τοῦ ἀλέα, θέα, μηλέα, ἰτέα καὶ Νεμέα πόλις.

§. ωκζ΄. Ἔτι τὰ εἰς αινα. λέαινα, μύραινα, Πλὴν τοῦ γάννα.

§. ωκή. Καὶ τὰ εἰς αινις ὀξύτονα. οἷον, μαινίς.

§. ωκθ΄. Ἔτι τὰ ἀπὸ τῶν εἰς α, ἢ εἰς η θηλυκῶν, εἰς αιος, τῇ αι μεσοσυλλαβεῖ. γάζα, γαζαῖος. γέν-